κήδω, πηδῶ, Φιληδῶ. τῷ η καὶ οἰδῶ, τῇ οι.

§. αά. Ἔτι ὅσα ἐπὶ τοῦ Μέλλοντος ἔχει τὸ ε, καὶ ἐπὶ τοῦ Ἐνεστῶτος ἔχει. κερῶ, κείρω. κτενῶ, κτείνω, τῇ ει.

§. αβ΄. Ἔτι ὅσα κινούμενα παρέχει τὸ ο, τὸ ε προεῖχεν. ἀμοιβὴ, ἀμείβω. μοῖρα, μείρω. κουρὰ, κείρω.

§. αγ΄. Τὰ δὲ εἰς εινω ὑπερδισύλλαβα, εἰ μὲν πρὸ τοῦ ει Φωνῆεν ἡγεῖται, τῇ ει παραλήγει. ἐρεείνω, Φαείνω. Πλὴν τῶν ἀπὸ τῶν εἰς υς καθαρόν. πραῦς, πραΰνω. εἰ δὲ σύμΦωνον ἡγεῖται, τῷ υ. ὀτρύνω, ἀμύνω. Πλὴν τοῦ ὀρίνω, καὶ ὠδίνω. τῷ ι.

Ὅσα τῷ ι.

§. αδ΄. Τὰ δὲ εἰς ιζω, τῷ ι. Πλὴν τοῦ δανείζω, τῇ ει καὶ χρήζω, τῷ η. καὶ πλὴν τοῦ ἑρπύζω, ποππύζω, ὀλολύζω, βρύζω, τρύζω, λύζω, κλύζω, γογγύζω, ἰΰζω, τῷ υ. καὶ ἀθροίζω, τῇ οι.

§. αέ. Ἔτι τὰ εἰς ισκω. εὑρίσκω. Πλὴν τοῦ μιμνήσκω, θνήσκω, κικλήσκω, τῷ η. καὶ μεθύσκομαι, τῷ υ.

Ὅσα τῷ υ.

§. ας΄. Τῷ υ δὲ, τὰ εἰς υνω ὑπερδισύλλαβα μετὰ συμΦώνου, ὡς εἴρηται (§. αγ΄.)

§. αζ΄. Καὶ ἔτι τὰ εἰς υρω βαρύτονα. πορΦύρω, μορμύρω. Πλὴν τοῦ Φθείρω, πείρω, τείρω, εἴρω, ἀγείρω, οἰκτείρω, ἐγείρω, τῇ ει καὶ Φύρω, τῷ υ.

Ὅσα τῷ ω.

§. αή. Τὰ δὲ εἰς ωγω, τῷ μεγάλῳ. τρώγω, ἀνώγω. Πλὴν τῶν ἀπὸ πρωτοτύπου τὸ ο μικρῷ ἐχόντων. οἷον, μόγος, μογῶ.